# Paraenesis ad ascetas (ordine alphabetico)

## Παραίνεσις ἀσκηταῖς κατὰ στοιχεῖον

Ἀρχὴ ἀποταγῆς μοναχοῦ φοβεῖσθαι τὸν Κύριον· ἄφοβος δὲ μοναχὸς ἔξω τῶν πυλῶν τῆς βασιλείας τοῦ Θεοῦ αὐλισθήσεται. Ἀρχὴ ζωῆς ἀγαθῆς μοναχοῦ γνῶσις Θεοῦ· ἀγνωσία δὲ Θεοῦ σκοτίζει ψυχὴν μοναχοῦ. Ἀγαθὴ κληρονομία μοναχοῦ σωφροσύνη καὶ ἁγιασμός· ἀποκληρονόμος δὲ γίνεται πατέρων ὁ ἐκτὸς τούτων μοναχός. Ἄσκησις μοναχοῦ μελέτη τῶν γραφῶν καὶ ποίησις ἐντολῶν Θεοῦ· ἀνάσκητος δέ ἐστιν ὁ μὴ ἐν τούτοις ἀναστρεφόμενος μοναχός. Βρῶσις μοναχοῦ τὸ ποιεῖν τὸ θέλημα <τοῦ Θεοῦ, βρῶμα δὲ> αἰσθητὸν οὐ παρίστησι τῷ Χριστῷ μοναχόν, ἀλλ' εἰς κοιλίαν χωρεῖ καὶ εἰς ἀφε 339 δρῶνα ἐκπορεύεται. Βῆμα μοναχοῦ σεμνῶς κινούμενον ἐκτριβέτω βαθμοὺς ἐκκλησίας· βῆμα δὲ μοναχοῦ ἄσεμνον μὴ ἐκπορευέσθω ἐξ οἰκίας εἰς οἰκίαν. Βίος μοναχοῦ ἀκηλίδωτος ἔστω, μὴ χλευαζόμενος ὑπὸ γυναικαρίων σεσωρευμένων ἁμαρτίαις· βέλος γὰρ πειρατηρίου ἐστὶν ἐν καρδίᾳ μοναχοῦ γυνὴ ἑταιριζομένη ἐν οἰκίᾳ. Βουλὴ μοναχοῦ μετὰ συνετοῦ γινέσθω· βουλὴ δὲ ἀσυνέτου μὴ κατοικείτω ἐν καρδίᾳ μοναχοῦ. Γρηγορῶν μοναχὸς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ἐκδιώκει νυκτερινὰς φαντασίας. Γαυριῶν μοναχὸς ἐπὶ κατορθώμασι καὶ καθεύδων, ἱστοὺς ἀράχνης ὑφαίνει. Γενναῖος μοναχὸς τῷ σταυρῷ τοῦ Χριστοῦ ἐκφεύγει βρόχους διαβολικούς. Γήϊνος μοναχός, καὶ εἰς γῆν νενευκώς, πᾶσι σατανικός. Γνώμη μοναχοῦ διαπαντὸς ἔστω πρακτικὴ ἔργων ἀγαθῶν. Γυμνάσιον μοναχοῦ λογισμοὶ ἐπάλληλοι. Γρηγόρησις μοναχοῦ πιστοῦ πραΰνει λογισμοὺς ῥυπαρούς. Γεώργιον μοναχοῦ ψυχὴ ἀγαθὴ καρποφοροῦσα εὐαγγελικῶς. Γεωργῶν ταύτην μοναχός, φάγεται τὸν καρπὸν αὐτῆς. Γλυκὺς 340 καρπὸς ἐν στόματι, τῶν ἰδίων ὁ μισθός. Δύναμις ἀθάνατος μοναχοῦ ἀκτημοσύνη βαστάζουσα τὸν σταυρόν· δεινὸν γὰρ παρὰ μοναχοῖς φιλαργυρία, ἀποκλείουσα βασιλείαν οὐρανῶν. Δὸς καρδίαν, μοναχέ, εἰς ὤμους σου, ἵνα τῷ νοῒ καὶ τῷ πρακτικῷ ἀποδιώξῃς ἀπὸ σοῦ τὸν ἀντικείμενον. Δῶρον ἀγαθὸν μοναχοῦ παρθενία, ἁρματηλάτην αὐτὸν εἰς οὐρανοὺς ἀνάγουσα σὺν τῷ Ἠλίᾳ· διό, μοναχέ, ταύτης ἐραστὴς γενόμενος, ἐπίβηθι τῷ πυρίνῳ ἅρματι δροσιζόμενος ὀχετοῖς δυσίν. Δάκρυον ἐξ ὀφθαλμῶν προχεόμενον, δένδρον ζωῆς εἰς ὕψος ἐγειρόμενον ταπεινοφροσύνης δυνάμει· κεκτημένος τοῦτο μοναχὸς τρυγήσει τοὺς ἀγαθοὺς καρπούς. Δύναμις παρθενίας ἀποχὴ βρωμάτων· ὁ δὲ κραιπαλῶν μοναχὸς σπιλώσει σάρκα αὐτοῦ. Δημοσιεύων μοναχὸς δόμα αὐτοῦ, βδελυχθήσεται, καὶ ἀκούσεται παρὰ Χριστοῦ· ἀπέχεις τὸν μισθόν σου· δυσωπούμενος δὲ ἐξειπεῖν, λήψεται μισθὸν παρὰ τοῦ τὰ κρύφια γινώσκοντος Χριστοῦ. Διδοὺς μοναχὸς τὰ τοῦ Θεοῦ τῷ Θεῷ, μὴ ἐπαιρέσθω· δεόμενος δὲ τοῦ Θεοῦ λεγέσθω· Δέσποτα, 341 ἐκ τῶν σῶν τὰ σὰ προσφέρω· παρὰ σοῦ λύτρωσιν ψυχῆς μόνον ζητῶ. Εὐχομένου μοναχοῦ καθαρῶς ἐν νυκτεριναῖς προσευχαῖς, εἰσακούσεται Κύριος· ἐν ἡμέρᾳ δὲ τοῦτον λαμπρυνεῖ ὁ Θεὸς καὶ ὡς ἡμέραν καθ' ἡμέραν ἀναδείξει αὐτόν. Ἐλεήμων μοναχὸς φιλάδελφος ἔσται καὶ κληρονομήσει τὴν γῆν τὴν ἀγαθήν. Ἐν ὑπερηφανίᾳ μοναχοῦ οὐκ ἀναπαύσεται Κύριος· ἐν ταπεινοφροσύνῃ δὲ αὐτοῦ ἀναπαύσεται τὸ Πνεῦμα τὸ Ἅγιον. Ἐνθύμησις μοναχοῦ διαπαντὸς ἔστω ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, καὶ ἐν τάχει κληρονομήσει αὐτήν. Ἐν παντὶ καιρῷ ἔστω ὁ χιτὼν τοῦ μοναχοῦ ἄσπιλος· οὐχ ὁ ὑφαντός, ἀλλ' ὁ πνευματικός· ἐν μέσῃ γὰρ νυκτὶ ὁ τοιοῦτος συνεισελεύσεται τῷ Νυμφίῳ. Ἔλαιον ἐπικομιζέσθω μοναχός, εἰς ἀπάντησιν τοῦ Νυμφίου· ἔξω γὰρ μένει μοναχὸς μετὰ τῶν μωρῶν πέντε παρθένων, ὁ μὴ ἐλαίῳ φαιδρύνων τὴν ἑαυτοῦ λαμπάδα. Ζωὴ μοναχοῦ κατὰ μίμησιν Ἀγγέλων γινέσθω, καταφλέγουσα ἁμαρτίας· ζωὴ γάρ ἐστιν ἡ τῶν μετανοούντων ὁλοκάρπωσις. Ζωὴ μοναχοῦ χα 342 ρακτηριζέτω



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὰ μέλη αὐτοῦ νενεκρωμένα πρὸς ἐπιθυμίαν ὑπάρχοντα· ζωὴ γὰρ Ἰωάννου καὶ βίος, ὑπογραμμὸς γέγονε τῶν μοναχῶν. Ζάλη δαιμόνων ἀπὸ μοναχῶν φευγέτω· γαλήνη Ἀγγέλων παρὰ μοναχοῖς χορευέτω. Ζάλης δαιμονικῆς ἐπερχομένης κρατείτω μοναχὸς θυμοῦ· ζωὴ γὰρ μοναχοῦ ἐν πρᾳότητι καὶ ὑπομονῇ γνωρίζεται. Ζέων τῷ πνεύματι μοναχὸς ἀποδιώκει τὸν Διάβολον· ζηλῶν δὲ ἀνόμως ὁ μοναχὸς τὸν ἀδελφὸν αὐτοῦ, ἀνόμως ἐπισπᾶται τὸν Διάβολον. Ζύμη κακίας μὴ ὀνομαζέσθω παρὰ μοναχοῖς· ἀγάπη δὲ εἰλικρινὴς κρατείτω μοναχῶν. Ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ τοῦ μοναχοῦ. Ἥσυχος μοναχὸς οὐ ταράσσει ἀδελφούς· κραυγὴ δὲ μοναχοῦ διαστρέφει μονήν. Ἦχον ψαλμῳδίας μὴ ἀπαναίνου, μοναχέ· αὕτη γὰρ ἡ τῶν Ἀγγέλων ὑμνολογία. Ἦχον θεάτρων διαβολικῶν φεῦγε, μοναχέ· αὕτη γὰρ ἡ τῶν δαιμόνων ἀπάτη. Ἤτω ἐπὶ τοῦ μετώπου σου διαπαντὸς ὁ σταυρὸς τοῦ Χριστοῦ, μοναχέ· ἤτω καὶ ἐν τῇ καρδίᾳ σου διαπαντὸς ὁ τοῦ Θεοῦ φόβος, ἀσκητά. Ἡσυχία 343 μοναχοῦ μετὰ καθαρᾶς καρδίας, δυσωπεῖ τὸ Πνεῦμα τὸ Ἅγιον. Ἦθος χρηστὸν μοναχοῦ φιλαδελφίαν ἐργάζεται καὶ μάχην ἀποδιώκει. Ἡρμοσμένος τῷ Κυρίῳ μοναχὸς μὴ ἐκδιδότω ἑαυτὸν τῷ Διαβόλῳ, ἵνα μὴ καταισχυνθῇ ἐπὶ τοῦ νυμφῶνος. Θυρεὸς μοναχοῦ ἀκαταμάχητος, ὕμνος Ἀγγέλων ἐν τῷ στόματι αὐτοῦ· θάνατος δὲ μοναχοῦ ὕπνος ὑπὲρ ὕμνον ἀγαπώμενος. Θησαυρὸς μοναχοῦ ἀκτημοσύνη ἑκούσιος· θειότατός ἐστιν ὁ ταύτην ἐπανῃρημένος μοναχός. Θησαύρισον, μοναχέ, ἐν οὐρανῷ· ἀπέραντοι γὰρ οἱ τῆς ἀπολαύσεως αἰῶνες. Θεωρίᾳ μοναχοῦ ἐν Γραφαῖς ἁγίαις γινέσθω. Θύρα μοναχοῦ μὴ μοχλοῖς σιδηροῖς κλειέσθω, ἀλλὰ τῷ ἀκρογωνιαίῳ λίθῳ στηριζέσθω. Θεοσέβεια μοναχοῦ ἐν φιλοξενίᾳ γνωριζέσθω, καὶ ἐν ἀγαλλιάσει κατευθυνέσθω. Θαυμαστὸν πρόσωπον μοναχοῦ διὰ προσευχῆς γίνεται, καὶ διὰ ἐλεημοσύνης γνωρίζεται. Ἱλαρὸς τῇ ὄψει μοναχὸς ἀσκητῶν ἀνάπαυσις ἔσται καὶ λογισμῶν πονηρῶν καθαιρέτης. Ἰωάννης σου ὑπογραμμὸς γενέσθω, μοναχέ, τρίχας κα 344 μήλου περιβεβλημένος, ἵνα Ἠλίας τῇ μηλωτῇ σκεπάσας εἰς οὐρανοὺς ἀναγάγῃ σε. Ἰάκωβος χαίρειν προτρέπεται ἐπὶ ταῖς προσπιπτούσαις συμφοραῖς ὑπομονὴν ἐκδιδάσκων. Ἰωάννης σε πρὸς τὸν ἐν ἀρχῇ Λόγον καθωδήγησεν. Ἰκμὰς ἐν μετώπῳ ἱλαρότητος πνευματικῆς γινομένης μοναχοῦ, εὐφραίνει πλῆθος μοναχῶν. Ἰταμὸς μοναχὸς σκορπίζει σύλλογον ἀδελφῶν. Ἰσότης ἐπὶ μοναχῶν ὑπερηφανίαν ἐξορίζει καὶ ταπεινοφροσύνην εἰσοικίζει. Ἰσάγγελος γίνεται μοναχός, κοιλίας καταφρονῶν καὶ κραιπάλην οὐκ ἀγαπῶν. Κάλλος ἀμήχανον ἐν ψυχῇ μοναχοῦ, παρθενία ἐκλάμπουσα· κάκιστον δὲ πρόσωπον μοναχοῦ, παρθενίας ἐσπιλωμένης. Κάκιστον μοναχῷ κακία συνείσακτος ὡς πῦρ ἐπὶ καλάμης. Κόσμον πατήσας μοναχός, Χριστῷ συνόμιλος γίνεται· κόσμου δὲ πράγμασιν ἐμπεπλεγμένος, οὐκ ἀρέσει τῷ στρατολογήσαντι Χριστῷ. Κῆρυξ πιστότατος βασιλείας οὐρανῶν μοναχὸς ἀφιλάργυρος· κακῶς δὲ ἀπολλύμενος ὁ φιλαργυρίαν νοσῶν. Κόσμος νεανίσκου μο 345 ναχοῦ σωφροσύνη ἀνεπισκότητον κεκτημένη παρθενίαν. Κειμήλιον μοναχοῦ ὑπακοή· ὁ κεκτημένος αὐτὴν εἰσακουσθήσεται παρὰ Κυρίου. Κακία μὴ αὐλιζέσθω ἐν καρδίᾳ μοναχοῦ· ἀγαθωσύνη δὲ πλεοναζέσθω ἐν ἔργοις αὐτοῦ. Λόγον ἀγαθὸν ἐξερευγέσθω μοναχός, καὶ λαλείτω ἐν στόματι αὐτοῦ λόγους Ὑψίστου. Λιμὸν ἑκούσιον ἀναλαβέτω μοναχὸς τοῦ ταπεινῶσαι γηΐνον σῶμα καὶ ὑψῶσαι οὐρανοπολίτην ψυχήν. Λόγον ἀληθείας φθεγγέσθω μοναχός, καὶ ψεῦδος ἐξοριζέσθω ἐκ τοῦ στόματος αὐτοῦ. Λόγον σκληρὸν ἐὰν ἀκούσῃ μοναχός, μὴ θρασυνέσθω, ἀλλὰ ὑποπιπτέτω· λήψεται γὰρ τῆς εἰρήνης μισθὸν πιστόν, καὶ υἱὸς Ὑψίστου κληθήσεται, τῆς εἰρήνης μεσίτης γενόμενος. Λιγυρῶς φθεγγόμενος μοναχὸς ἐν ταπεινοφροσύνῃ καὶ ἐκ λιθίνης καρδίας προσκαλεῖται δάκρυα. Λέων φοβερὸς τοῖς ὀνάγροις· οὕτως μοναχὸς λογισμοῖς ἐπιθυμίας. Λύων μοναχὸς ἀκαίρως νηστείαν, ὡς ὁ κατασκάπτων πύργον ἐκ θεμελίων. Λαῖλαψ ἐγείρων κονιορτὸν ἐν τῷ πεδίῳ, οὕτως μονα 346 χὸς ὑπερήφανος ἐγείρων ὀργὰς ἐν μοναστηρίῳ. Λιμὴν ἀχείμαστος πλοίοις, οὕτως ἔστω



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΠΤΑ 75%, Εθν. πόροι 25%). Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μοναχὸς ἐν μοναστηρίῳ. Μίμημα Ἀγγέλων μοναχὸς ἐπὶ γῆς ἀγαθῆς, ὃς οὐκ ἐτρώθη τοξεύματι ἡδονῆς. Μὴ σπεύσῃς, μοναχέ, ἐν ὑπερηφανίᾳ, ἵνα μὴ πέσῃς πτῶμα ἐξαίσιον. Μιμητὴς γενοῦ, μοναχέ, τῆς ταπεινοφροσύνης Παύλου, ἵνα καὶ συγκληρονόμος γένῃ τῶν Ἁγίων. Μίμησαι τὸν τελώνην, μοναχέ, ἵνα μὴ σὺν τῷ Φαρισαίῳ κατακριθῇς. Μωυσέως τὸ πρᾷον ἐπίλεξαι, μοναχέ, ἵνα σου τὴν καρδίαν ἀκρότομον οὖσαν εἰς λίμνας ὑδάτων μεταβάλῃ Θεός. Μετὰ ταῦτα λέξεις, ὡς πεῖραν λαβών· τί καλὸν ἡ πραότης! Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με. Μὴ σκληρὸς φανῇς, μοναχέ· μνήσθητι ὅτι οὐδεὶς σκληρὸς γεγονὼς ὑπέμεινεν. Μὴ τὸν Ἄβελ καταλιπών, μοναχέ, τῷ ὑπερηφάνῳ Κάϊν προστεθῇς, καὶ τῶν ἐκείνου τιμωριῶν συμμέτοχος γένῃ. Μάθε ὡς καλὸν ἡ ταπεινοφροσύνη, καὶ ταύτην ἔκλεξαι σεαυτῷ· ἀνάγει γὰρ πρὸς οὐρανόν. Μισθὸς ἀγαθός σοι πρόκειται, μοναχέ, τῆς ταπεινοφροσύνης, ἡ τῶν οὐρανῶν βασιλεία· ταύτης μὴ ἀμελήσῃς. 347 Νέος μοναχὸς στηριζέσθω ἐπὶ σωφροσύνῃ, κενοδοξίαν παρορῶν. Νεόφυτον ἡγιασμένον ὑπὸ Θεοῦ μοναχὸς σωφροσύνῃ ἀρδευόμενος. Νηστεία χαλινὸς μοναχοῦ· ὁ ῥίπτων αὐτήν, ἵππος θηλυμανὴς εὑρίσκεται. Νέος μοναχὸς ἀχαλίνωτος ἀφειδῶς ἁμαρτάνει. Νίπτων μοναχὸς πόδας ὁσίων, λαμπρύνει καρδίαν αὐτοῦ, καὶ ἕξει θησαυρὸν ἐν οὐρανοῖς. Νίπτων μοναχὸς πόδας ἁμαρτωλῶν ἀδιακρίτως, εὐλογίαν ἀπολλυμένων ἐφ' ἑαυτὸν ἐπισπᾶται. Νύκτα καὶ ἡμέραν ἐργάζεται μοναχὸς ἐγρήγορος, εὐχαῖς προσεδρεύων. Νύσσων μοναχὸς καρδίαν αὐτοῦ, προχέει δάκρυον καὶ οὐρανόθεν ἔλεον προσκαλεῖται. Νᾶμα θεῖον ἐν στόματι μοναχοῦ, ψαλμὸς ἐξομολογήσεως· ὁ κεκτημένος αὐτὴν τέλειός ἐστι. Ξύλον ζωῆς ἐπὶ γῆς μοναχὸς ἀπαθής. Ξύλον ζωῆς αἰωνίου ἐν οὐρανοῖς μοναχὸς ἀπλανής. Ξένον θέαμα ἐν οὐρανοῖς μοναχὸς ἐπὶ γῆς ἀγγελικὸν ἐπανῃρημένος βίον. Ξίφος ὀξύτατον κατὰ τοῦ Διαβόλου ψαλμὸς ἐν στόματι μοναχοῦ. Ξύλον ξηρὸν ἐπὶ Ἐλισσαίου σίδηρον εἵλκυσεν ἐκ βυθοῦ· ξηρὸν δὲ 348 σῶμα ὑπὸ νηστείας γενόμενον ἐπὶ μοναχοῦ, ψυχὴν ἐκ βυθοῦ ἀνιμᾶται. Ξηραίνει ἡδονῶν ὀχετοὺς νηστεία μοναχοῦ. Ξίφος κατὰ τῶν παθῶν γρηγόρησις μοναχοῦ ἐν προσευχαῖς ἀκουομένη. Ξενισμὸς μοναχοῦ μετὰ λαχάνων, γινόμενος ἐν ἀγάπῃ, ἀγαθὸν ὑπὲρ στέαρ ὁλοκαυτωμάτων. Ξένια καὶ δῶρα ἀπατᾷ σοφούς· ὁ δεχόμενος αὐτὰ ἐπὶ ἀδικίᾳ ἑτέρων, οὐκ ἔστιν ἀσκητής. Ὅρος νηστείας μοναχοῦ ἀποβίωσις· πρὸ τελευτῆς μὴ ἀπόσχῃ αὐτῆς. Ὅρος προσευχῆς μοναχοῦ ἀόριστος· ἐν παντὶ γὰρ καιρῷ εὐλογεῖν τὸν Κύριον, ἀγαθόν. Ὁ ὀνειδίζων μοναχοὺς ἀσκητὴς ἀδόκιμος, καὶ παρὰ ἀνθρώποις βδελυκτός. Ὁ μὴ κρατῶν γλώσσης αὐτοῦ μοναχὸς ἐν ἡμέρᾳ ὀργῆς, οὐδὲ παθῶν κρατήσει εὐχερῶς ὁ τοιοῦτος. Ὀργιζόμενος μοναχὸς ἀναιρεῖ ψυχὴν αὐτοῦ καὶ κατατιτρώσκει βέλεσιν ὀξυτάτοις τὸν ἔγγιστα αὐτοῦ. Οὐαὶ μοναχῷ τῷ δικαιοῦντι αὐτὸν ἐνώπιον τῶν ἀνθρώπων· βδελυκτὸς γὰρ ὁ τοιοῦτος παρὰ Θεῷ. Ὀκνηρὸς μοναχὸς μελετήσει λόγους ματαίους καὶ ἡ ὁμιλία αὐτοῦ ἔσται ἀπατηλή. Ὀξὺς μοναχὸς ἐμπεσεῖται εἰς πειρασμόν, ὁ δὲ 349 πρᾷος καταπαύει ὀργήν. Ὁ πεποιθὼς ἐπὶ τῇ δυνάμει αὐτοῦ μοναχὸς πεσεῖται· ὁ δὲ πεποιθὼς ἐπὶ εὐλαβείᾳ στήσεται. Ὁ ἐξουθενῶν τὸν πλησίον, ὡς ἁμαρτωλόν, ταλαίπωρος, ὁ δὲ προτιμῶν τὸν ἔγγιστα αὐτοῦ ὑψωθήσεται. Παγκρατιάζων μοναχὸς βδελυχθήσεται, καὶ ἐν ὄψεσιν ἀξίων ἀτιμασθήσεται. Πρὸ πειρασμοῦ καθόπλιζε σεαυτόν, μοναχέ· συμβήσεται γάρ, ἵνα ἐν τῷ πειρασμῷ δόκιμος ἀναφανῇς. Πλοῦτον καὶ πολυσαρκίαν μὴ κτήσῃ, μοναχέ· ἡ γὰρ στενὴ καὶ τεθλιμμένη ὁδὸς τὰ μὴ συμφέροντα ἀπωθεῖται. Παύλου γενόμενος μαθητής, λέγε σὺν αὐτῷ· ἥγημαι πάντα σκύβαλα, ἵνα Χριστὸν κερδήσω. Πῦρ καιόμενον ἐντὸς μοναχοῦ, ἡδονὴ ἐκ κραιπάλης ἀναπτομένη. Πηγὴ ἀέναος ὁ Χριστός· ἐκ ταύτης ἀρυόμενος, μοναχέ, τὴν δυσώδη πυρκαϊὰν κατάσβεσον. Πλοῦτος ἐν χερσὶ κατεχόμενος, καὶ πολυσαρκία ἐκ κραιπάλης συνισταμένη, οὐκ εἰσδεχθήσονται εἰς πύλας οὐρανῶν. Πεποιθὼς οὖν ἔσο, μοναχέ, μὴ ἐπὶ πλούτῳ καὶ πολυσαρκίᾳ, ἀλλ' ἐν ἀκτημοσύνῃ καὶ ἐγκρατείᾳ, ἵνα μὴ ἔξω τῶν πυλῶν στῇς.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Πεποιθὼς μοναχὸς ἐπὶ περιβο 350 λῇ γένους καὶ εὐγενείᾳ σώματος ταπεινωθήσεται· ὁ δὲ διὰ Χριστὸν ταπεινός, ὑψωθήσεται. Ῥῆμα πονηρὸν μὴ προφερέτω μοναχός· ἄμπελος γὰρ ἀκανθοφόρος γίνεται. Ῥήμασι γλυκυτάτοις λαλείτω μοναχὸς τῷ πλησίον· μέλι γὰρ πικρίαν οὐκ ἔχει. Ῥᾴθυμος μὴ γινέσθω προστάτης δικαιοσύνης ἔργων· ἡ γὰρ μέλισσα διαπαντὸς ἐργάζεται. Ῥεῖθρον Ἰορδάνου καθάρσιον ἁμαρτημάτων· Χριστὸς τοῦτον ἡγίασεν. Ῥεῖθρον δακρύων μοναχοῦ, ἄφεσις ἁμαρτημάτων· ὁ Χριστὸς εἶπε· μακάριοι οἱ κλαίοντες νῦν ὅτι γελάσονται. Ῥιπίζεται κοῦφος μοναχὸς ὑπὸ λαίλαπος λογισμῶν· ῥήμασι δὲ εὐαγγελικοῖς στηρίζει ἑαυτὸν ὁ κρατῶν. Ῥῦσαι τὸν πλησίον, μοναχέ, ἀπὸ ἁμαρτίας, χωρὶς ὀνειδισμοῦ, ὅση σοι δύναμις· Θεὸς γὰρ τοὺς ἐπιστρέφοντας οὐκ ἀπωθεῖται. Ῥῆμα κακίας καὶ πονηρίας μὴ ἀποκλείσῃς ἐν καρδίᾳ σου κατὰ τοῦ ἀδελφοῦ σου, μοναχέ, ἵνα δυνατὸς ᾖς τοῦ λέγειν· ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίε 351 μεν τοῖς ὀφειλέταις ἡμῶν. Ῥᾴθυμος μοναχὸς πνιγήσεται ὑπὸ λογισμῶν, ὡς ὑπὸ ἀκανθῶν σίτος. Στέφανος καυχήσεως μοναχοῦ εἰρήνη καὶ ἁγιασμός· ὁ κεκτημένος αὐτὰ ὄψεται τὸν Κύριον. Σωφροσύνη μοναχοῦ ἀνυψώσει κεφαλὴν αὐτοῦ, καὶ ἐν μέσῳ πολλῶν δοξάσει αὐτήν. Σοφία μοναχοῦ μὴ ἐν κοπολογίᾳ γινέσθω, ἀλλ' ἐν εὐσταθίᾳ καὶ πρᾳότητι δοξαζέσθω. Σοφὸς ἔσται ὁ τοιοῦτος, καὶ πιστὸς οἰκονόμος εἰς πλῆθος ἀδελφῶν ἀποδειχθήσεται· σοφὸς γὰρ ἀληθῶς ἐστιν οὐχ ὁ τῷ λόγῳ διδάσκων, ἀλλ' ὁ τῷ ἔργῳ παιδεύων. Συνετὸς μοναχὸς φάλαγγι δαιμόνων πυκτεύσας ἄτρωτος διαμένει τῶν ἐκεῖθεν βελῶν. Στηριζόμενος μοναχὸς τῷ σταυρῷ τοῦ Χριστοῦ συντρίψει τὴν κεφαλὴν τοῦ Δράκοντος. Στόμα μοναχοῦ ἀνοιγέσθω λόγῳ Θεοῦ, καρδία δὲ αὐτοῦ μελετάτω λόγια Κυρίου ἀμετεωρίστως. Τίμιον κτῆμα μοναχοῦ παρθενία φωτὶ ἐλεημοσύνης καταλαμπομένη· τοῦτο φυλάξας μοναχὸς ἀσφαλῶς εἰσελεύσεται εἰς τὸν νυμφῶνα. Τήρησον ἐντολὰς Ὑψίστου, μοναχέ, καὶ πατέρων παραγγελίαν φυλάξαι σπούδασον, 352 ἀσκητά· ταῦτα γὰρ ποιῶν κληρονόμος τῆς τῶν οὐρανῶν βασιλείας ἀναδειχθήσῃ. Τολμηρὸς μοναχὸς ἐμπεσεῖται εἰς πειρασμὸν καὶ παγίδα τοῦ Διαβόλου· τὸν δὲ πρᾷον καταλήψεται εἰρήνη καὶ στέφανος ἁγιάσματος. Τρυφητὴς μοναχὸς ἐν ἀπάταις ἔσται καὶ φαντασίαις νυκτεριναῖς· τοῦ δὲ νηστεύοντος ἄσπιλος ἡ κοίτη καὶ ἀφαντασίαστος ὁ ὕπνος αὐτοῦ. Τῷ φοβουμένῳ τὸν Θεὸν μοναχῷ οὐ συναντήσεται πρᾶγμα πονηρόν· τὸν γὰρ τοιοῦτον φυλάττει ὁ Κύριος, καὶ ἐν ἡμέρᾳ τελευτῆς ἕξει ὁ τοιοῦτος ἱλασμόν. Ὑποταγὴ μοναχοῦ οὐκ ἐν τῷ μείζονι γνωρίζεται, ἀλλ' ἐν πειρασμοῖς δοκιμάζεται. Ὑπομονὴ μοναχοῦ ἐν ταῖς θλίψεσι παρὰ πιστοῦ τελειουμένη, ἐλπίδα περιποιεῖται μὴ καταισχύνουσαν. Ὑπομονὴ μοναχοῦ ἕως ἐσχάτης ἀναπνοῆς αὐτοῦ· ὁ γὰρ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται. Ὑμνολογία μοναχοῦ ἀκατάπαυστος ἔστω· τὰ γὰρ Σεραφὶμ ἀκαταπαύστως δοξολογεῖ. Ὕμνος πνευματικὸς ἔστω ἐν στόματί σου, μοναχέ, ἐπικουφίζων σοι τὸ βάρος τῶν ἐπερχομένων πειρασμῶν. Ὑπόμεινον, μοναχέ· βραχὺς γὰρ τῆς ὑπο 353 μονῆς ὁ καιρός, ἀπέραντοι δὲ οἱ τῆς ἀπολαύσεως αἰῶνες. Ὑπήκοος μοναχὸς εὐπαρρησιάστως τῷ σταυρῷ παραστήσεται· ὁ γὰρ ἐπὶ τοῦ σταυροῦ Κύριος, <ὑπήκοος μέχρι θανάτου,> θανάτου δὲ σταυροῦ. Φωνὴ μοναχοῦ μὴ ἀνυψούσθω πρὸς τὸν ἀδελφὸν αὐτοῦ ἐν πικρίᾳ ψυχῆς αὐτοῦ. Φωνὴ μοναχοῦ ἐν πρᾳότητι προσευχῆς εἰλικρινῶς ἀναπεμπέσθω πρὸς τὸν Θεὸν ἀκινήτοις χείλεσι. Φωστὴρ ἀληθινὸς ἐπὶ τῆς γῆς μοναχός, ὃς οὐκ ὠλίσθησεν γλώσσῃ αὐτοῦ. Φίλος Χριστοῦ ὁ τοιοῦτος, καὶ ὃς οὐκ ἐσπίλωσεν ἁμαρτίαις σῶμα αὐτοῦ. Φόβος Θεοῦ συνέχων μοναχόν, ὡς πύργος ἀκαταμάχητος. Φόβον Θεοῦ μὴ κεκτημένος μοναχός, εὐάλωτος ἔσται τοῖς ὑπεναντίοις. Φῶς καθαρὸν ἐπὶ γῆς μοναχός, παρ' ᾧ οὐχ εὑρέθη φιλαργυρία· φιλαργυρία γὰρ οὖσα ῥίζα πάντων τῶν κακῶν, οὐ τίκτει καρποὺς ἀγαθούς. Φαγεῖν κρέα καὶ πιεῖν οἶνον, ἄμεινον μοναχῷ, ἢ φαγεῖν ἐν καταλαλιαῖς σάρκας ἀδελφοῦ αὐτοῦ. Φάγε, μοναχέ, ἄρτον σου μετὰ μέλιτος, πικρίας ἀπεχόμενος,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ πίε οἶνόν σου μετὰ γάλακτος, νηπιάζων τῷ πνεύματι· μέλι γὰρ πικρίαν οὐκ ἔχει <καὶ> γάλα κακίαν οὐκ οἶδε. 354 Χρυσὸς δοκιμάζεται ἐν καμίνῳ πυρὸς καὶ μοναχὸς ἐν πλήθει μοναζόντων γνωρισθήσεται. Χεῖρες μοναχοῦ ἔστωσαν ὁσίως ἀναπεπετασμέναι πρὸς τὸν Θεόν· χερσὶ γὰρ προτυπώσας τὸν σταυρὸν Μωυσῆς, κατηγωνίσατο τὸν Ἀμαλήκ. Χάρις ἀγαθὴ ἐπὶ μοναχῷ ἐσταυρωμένῳ καὶ καθ' ἡμέραν ἀποθνήσκοντι· χαίρουσι γὰρ ἐπ' αὐτῷ Ἄγγελοι εἰσδεχόμενοι αὐτὸν εἰς βασιλείαν οὐρανῶν. Χαλινὸς παθῶν μοναχοῦ νηστεία, ἀναίρεσις δὲ αὐτῶν προσευχὴ μετὰ ἐλεημοσύνης. Χάλαζα φθοροποιὸς ἀμπέλῳ ἄρτι τοὺς ἕλικας προβαλλομένῃ, χεῖρες μοναχοῦ κακῶς ἁπτόμεναι ἐν μοναστηρίῳ, ἄρτι συνισταμένῳ. Χιόνος λαμπρότερος μοναχός, ἀνώτερος σαρκικῶν ἐπιθυμιῶν ὑπάρχων· Χριστὸν γὰρ ἀντὶ χρυσοῦ ποθῶν, ὄψεται αὐτὸν ἐν ἡμέρᾳ ἀγαθωσύνης στεφανοῦντα αὐτόν. Ψίθυρος μοναχὸς διασκορπίζει πλῆθος μοναχῶν καὶ διασκεδάζει φίλους· ψάλλων δὲ μοναχὸς συνεχῶς συγκροτήσει φιλίαν πνευματικήν. Ψιθυρίσας ὁ ὄφις τὴν Εὔαν τοῦ παραδείσου ἐξώρισε· ψιθυρίζων δὲ μοναχὸς ἐκεί 355 νῳ ὅμοιος ἔσται· τὴν γὰρ ψυχὴν τοῦ πλησίον ἀπόλλυσι καὶ τὴν αὐτοῦ οὐ διασῴζει. Ψάλλων δὲ συνετῶς ἐν καρδίᾳ αὐτοῦ, ἐπακουσθήσεται ὑπὸ τοῦ Θεοῦ. Ψυχὴ μοναχοῦ ἀμετεώριστον ἐχέτω τὸ ὄμμα πρὸς τὸν Θεόν· ψυχὴ γὰρ μοναχοῦ ἀποταξαμένη τῷ κόσμῳ καὶ νυμφευθεῖσα τῷ Χριστῷ τῶν ἐπιγείων καταφρονήσει. Ψελλίῳ τρυπήσει τὴν κεφαλὴν τοῦ Δράκοντος μοναχὸς ἔργοις ἀγαθοῖς περιβεβλημένος· ψυχὴ γὰρ μοναχοῦ εὐωδιάζουσα πνευματικῶς, φράσσει τὴν ὄσφρησιν τοῦ Δράκοντος ὁσίως, μὴ ὀσφρανθῆναι ἐν αὐτῷ μολυσμὸν ἡδονῆς. Ὡς καλόν, ἀδελφοί, κρατεῖν ἡδονῆς, καὶ ἀνώτερον εἶναι τῶν σαρκικῶν ἐπιθυμιῶν! Ὧ γὰρ πάρεστι φόβος Θεοῦ ἐν καρδίᾳ, τούτῳ μολυσμὸς ἡδονῆς οὐχ ἅπτεται. Ὡραῖος αἶνος ἐν στόματι μοναχοῦ ἐκ καθαρᾶς καρδίας ἀναπεμπόμενος Θεῷ. Ὡς θυμίαμα εὐῶδες τὴν τούτου δέησιν προσδέξεται Κύριος. Ὢ ποταπὴ λύπη ἐν Ἀγγέλοις, μοναχοῦ δι' ἀπροσεξίαν ἔξω βαλλομένου τῆς βασιλείας! Ὢ ποταπὴ ὀδύνη Ἁγίοις, ἀσκητοῦ δι' ὑπερηφανίαν μὴ συνεισερχομένου τῷ Νυμφίῳ εἰς τὴν ἁγίαν παστάδα! Ὢ πόση χαρὰ ἐν 356 Ἁγίοις, ἁμαρτωλοῦ διὰ μετανοίας εἰσερχομένου εἰς βασιλείαν οὐρανῶν! Ὢ πόση εὐφροσύνη Ἁγίοις, ἁμαρτωλοῦ ἐπιστρέφοντος ἐκ πλάνης ὁδοῦ αὐτοῦ! Ὧν μιμούμενοι τὴν πίστιν, πληρώσατε τὴν μετὰ χαρᾶς εὐφροσύνην. Ὢ μακάριοι Θεοῦ παῖδες, μοναχοί, ὧν οὐ κατηγωνίσατο σαρκὸς ἐπιθυμία! Ὑμᾶς ἡ γῆ οὐ καλύψει, ἀλλ' οὐρανὸς σὺν Ἀγγέλοις εἰσδέξεται. Αὐτῷ τῷ Θεῷ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.